# 15 FEBRUARIE
# HARALAMBOS BOUSIA

# SLUJBA SF.PREOT IACOB VALODIMOS DE LA VITSA ZAGORIEI



## MINEIUL PE FEBRUARIE-GR



# Ἀκολουθία
# Ὁσίου ΙΑΚΩΒΟΥ Βαλοδήμου

Δρ. Χαρ. Μπούσια
15 Φεβρουαρίου

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Βοδίνου θειότατε βλαστέ, θαυμαστὲ Ἰάκωβε, Ἀργυροκάστρου ὡράϊσμα, περικαλλέστατον, Βίτσης Ζαγορίου, θεοφόρε ἔνοικε, καὶ σέμνωμα Ἠπείρου περίδοξον, σοῖς κατορθώμασιν, ἐμεγάλυνας τὸ ὄνομα, τοῦ Σωτῆρος, Χριστοῦ Παντάνακτος.

Τὴν νάρκην ἐπάτησας ἐχθρῶν, ἀβλαβῶς, Ἰάκωβε, καὶ ἄλλων πάλιν ἐξέτρεψας, κατ' ἐναντίον σου, τὰς βολὰς τῶν ὅπλων, τοῦ Θεοῦ τῇ Χάριτι, Ὁσίων Ἱερέων ἀκρώρεια, Πάτερ πανάρετε, ὑπ' Ἀγγέλων ὁ κυκλούμενος καθ' ἑκάστην, ἐν βίῳ προσκαίρῳ σου.

Μονῆς τοῦ Προφήτου Ἠλιοὺ, ἀσκητὰ θεόσοφε, πνευματοφόρε Ἰάκωβε, ὡς φιλακόλουθος, ἔψαλλες ἀπαύστως, τῶν Ἁγίων τάγμασι, καὶ ἐν περιοδείαις σου ἔφερες, τὸ Ὡρολόγιον, τὴν Ὀκτώηχον, Ψαλτήριον καὶ Μηναῖα, ἐν πήρᾳ σου, Ὅσιε.

Συνέκδημον ἔχων τὴν τυφλὴν, σοῦ σεπτὴν ὁμαίμονα, καὶ θεοφόρον ἀσκήτριαν, Πάτερ

Ἰάκωβε, ἤνυσας τοῦ βίου, τοῦ παρόντος δόλιχον, ζηλῶν Χριστοῦ πτωχείαν τὴν σῴζουσαν, καὶ τὴν καρδίαν σου, συγχωρήσεως κατέδειξας, τοῖς ἐχθροῖς σου, λειμῶνα πανεύοσμον.

Δόξα. Ἦχος πλ. δ΄.

Τὸν ἐν ἀφελότητι καρδίας πολιτευσάμενον, καὶ δοχεῖον γενόμενον τοῦ Παρακλήτου Πνεύματος, Ἰάκωβον, τὸν ἐν Βίτσῃ ἀσκήσαντα, τιμήσωμεν ὁλοθύμως κραυγάζοντες· ὁ ἐν Ἠπείρου κορυφαῖς ὀρέων, ὡς στρουθίον φιλέρημον κελαδήσας Κυρίου τὴν εὔκλειαν, καὶ ὡς ἀετὸς ὑψηπέτης ἀρετῆς καταλαβὼν τὰς ἐπάλξεις, ἕλκυσον καὶ τοὺς τιμῶντάς σε ἐκ τῆς χαμαιζηλίας τοῦ λάκκου, πρὸς ἀπαθείας ὕψος δυσαντίβλεπτον, θεοπειθέσι σου παρακλήσεσι.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι....

Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαῖρε, ὁ ἀσκητὴς, τῆς Βίτσης Ζαγορίου, Ἰάκωβε τρισμάκαρ, ὁ ταπεινώσει ὕψος, καταλαβὼν θεώσεως.

Στ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Χαῖρε, ὁ ἀβλαβῶς, ἐχθρῶν πατήσας νάρκην, ἐν τοῖς ἐσχάτοις χρόνοις, Ἰάκωβε, Ἠπείρου, τὸ νέον σεμνολόγημα.

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Χαῖρε, Πάτερ σεπτέ, ὁ συγχωρήσας πᾶσιν, Ἰάκωβε, ἐχθροῖς σου, καὶ ὁδηγήσας κόσμον, πρὸς ἀρετῶν τελείωσιν.

Δόξα. Τριαδικόν.

Δόξα Σοι, ὁ Θεός, ὁ δι᾽ ἡμᾶς πτωχεύσας, ὢν πλούσιος ἐκθύμως, Τριὰς Ὑπεραγία, λυχνία τρισσοπύρσευτε.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, Χριστιανῶν, καταφυγὴ καὶ σκέπη, Κυρία Θεοτόκε, παραμυθία πάντων, ἐν λυπηροῖς καὶ θλίψεσι.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἰησοῦν τῆς καρδίας ἐν ἀφελότητι, θερμῶς λατρεύοντα δεῦτε, Ὁσίων ὑπογραμμὸν, Ἱερέων, τὸν ἐν Βίτσῃ ἐνασκήσαντα, ὡς θαυμασίων φρυκτωρὸν, εὐφημήσωμεν λαμπρόν, Ἰάκωβον τὸν θεόπνουν, ἡμῶν ἀνύστακτον πρέσβυν, καὶ ἀρωγὸν ἐν περιστάσεσι.

Θεοτοκίον.

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακὸς καί τὸ Μακάριος ἀνήρ· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Ἀργυροκάστρου τὸ κλέος, Βοδίνου καύχημα, τῶν Ἱερέων εὖχος, καὶ πιστῶν θεῖον πρέσβυν, πρὸς Κύριον ἐν ὕμνοις χρεωστικῶς, νῦν, Ἰάκωβον, μέλψωμεν, ὡς μαργαρίτην πολύτιμον ἀρετῶν, καὶ πυξίον ταπεινώσεως.

Ἐν Βίτσῃ τοῦ Ζαγορίου, ἀρτίως πήξαντα, φιλέρημον ὡς ὄρνιν, καλιὰν νυχθημέρων, ἀγώνων πρὸς βαθμίδων τῶν ἀρετῶν, εὐφημήσωμεν ἄνοδον, Μονῆς Προφήτου οἰκήτορα Ἠλιοὺ, καὶ αὐτοῦ σεπτὸν ὁμόζηλον.

Ἐν ὀροφῇ σῆς οἰκίας, κρυβεὶς, Ἰάκωβε, ἀόρατος κατέστης, τοῖς διώκταις σου, Πάτερ· Θεοῦ τῇ συνεργείᾳ, σὲ ποταμὸν, θαυμασίων ἀείῤῥυτον, δείξαντα εἶτα, θεόφρον, πρὸς δροσισμὸν, Χριστωνύμων τοῦ πληρώματος.

Ἐν ἑκουσίᾳ πτωχείᾳ, βίον ἀνύσαντα, ἀγάπης ἐκμαγεῖον, συγχωρήσεως φάρον, ἁπλότητος πυξίον καὶ τιμαλφὲς, ταπεινώσεως μάργαρον, ἐγκωμιάσωμεν πάντες χρεωστικῶς, Βίτσης ἔνοικον, Ἰάκωβον.

Τὴν σὴν πανίερον μνήμην, πανηγυρίζοντες, καὶ σοὺς ὑμνοῦντες πόνους, ἐνασκήσεως θείας, ἐν Βίτσῃ Ζαγορίου πρὸς ἀρετῶν, ὁλοκλήρωσιν, Ὅσιε, τὸν

θαυμασίοις δοξάζομεν Ἰησοῦν, σὲ δοξάσαντα, Ἰάκωβε.

Πνευματιστὴν τῇ δυνάμει, Σταυροῦ κατῄσχυνας, Χριστοῦ, τοῦ ζωηφόρου, ὁ ζυγὸν ἀγογγύστως, ἀσκήσεως ἀρίστης ἀναλαβὼν, ἐπωμάδιον, Ὅσιε, καὶ σταυρωθεὶς ἐν τῷ κόσμῳ ὡς ἀληθῶς, σὺν σαρκίου τοῖς παθήμασι.

Δόξα. Ἦχος πλ. β΄.

Τῷ πυρὶ τῆς ἀγάπης Κυρίου φλεγόμενος ἐκ νεότητος, κατέκαυσας πᾶσαν χοϊκὴν ἐπιθυμίαν, Ἰάκωβε, καὶ ὡς χρυσὸς δοκιμασθεὶς ἐν χωνευτηρίῳ, εὔχρηστον σκεῦος τοῦ Παρακλήτου γέγονας Πνεύματος· ὅθεν πάντες ὡς Βίτσης Ζαγορίου πανθαύμαστον οἰκήτορα, καὶ Ἠπείρου φρουρὸν καὶ ἀκέστορα μεγαλύνοντες, τὰς πρὸς Κύριον εὐχάς σου ἐκδεχόμεθα, πρὸς ἀρετῶν ὁλοκλήρωσιν καὶ θέωσιν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει Σε, Παναγία Παρθένε,...

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα (Κεφ. β΄ 1 - 11).

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμὸν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι Αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ’ ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι

καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον Αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τάς ὁδούς σου καὶ ἔλπισον ἐπ' Αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος Αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε Αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη; Ἢ τίς ἐπεκαλέσατο Αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ.α΄1- 10).

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε Αὐτὸν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν Αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν Αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· Ἅγιον γὰρ Πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ Πνεῦμα σοφίας καὶ οὐκ ἀθωώσει βλάσφημον ἀπὸ

χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ, οὐ δὲ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει, εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ.γ΄ 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ’ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ’ Αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ

ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α'.

Δεῦτε πάντες φιλέορτοι τιμήσωμεν, Ἰάκωβον, τὸν ἐν Ζαγορίῳ ἀσκήσαντα, καὶ Χριστῷ εὐαρεστήσαντα θεαυγεῖ πολιτείᾳ καὶ θαυμασίοις, ἐν εὐλαβείᾳ κραυγάζοντες· ὁ στερήσεσι, προσευχῇ καὶ νήψει μετασχὼν τῆς θεώσεως, καὶ χάριν λαβὼν πρεσβεύειν ὑπὲρ τῶν τιμώντων σε, ῥύου ἡμᾶς πάσης περιστάσεως, καὶ σῶσον ἐκ θανάτου τὰς ψυχὰς τῶν προσφύγων σου.

Ἦχος β'.

Ἡγιασμένον τῆς Ἠπείρου Ἱερομόναχον, καταλαβόντα τὴν πνευματικὴν τῆς Βίτσης ἔπαλξιν, Προφήτου Ἡλιοὺ τὸ Σεμνεῖον, καὶ αὐτὸ ἀναδείξαντα κονίστραν πνευματικῶν ἀγώνων, καὶ πέλαγος θαυμασίων ἀχανέστατον, εὐσχημόνως τιμήσωμεν λέγοντες· Ἀσκητῶν διάκοσμε, Ἱερέων εὐπρέπεια, ποδηγὲ πιστῶν ἀπλανέστατε, καὶ ἐχθρῶν σαγηνευτὰ τῆς πίστεως, ἀξίωσον ἡμᾶς θριαμβεῦσαι τὸν πολυμήχανον, καὶ ἀπολαῦσαι τῆς σὺν σοὶ ἀφθίτου ἀγαλλιάσεως.

Ἦχος γ'.

Τὸν χρυσοπτέρυγα ὑψηπέτην ἀετὸν τοῦ Πνεύματος, Ἰάκωβον, τὸν ἐν ὑψιθώρῳ Βίτσῃ ἀσκήσαντα, εὐφημήσωμεν ὡς μέτοχον τῆς Οὐρανίου

Βασιλείας, καὶ πρεσβευτὴν ἡμῶν θερμότατον πρὸς Κύριον λέγοντες· ὁ καλιὰν πήξας ἐν Ζαγορίῳ, πρὸς διηνεκῆ δοξολογίαν τοῦ ὀνόματος τοῦ Κυρίου, καὶ ἐν αὐτῇ ἐκκολάψας τὰ πνευματικά σου νοσσία, τὰ χείλη ἡμῶν ἄνοιξον πρὸς αἶνον τῶν θαυμασίων σου, ἀσκητὰ ἐνθεώτατε.

Ἦχος δ΄.

Μισήσας ἐκ νεότητος τὰ φθαρτὰ καὶ μάταια, ζηλωτὴς τῶν ἀῤῥεύστων γέγονας, Ἰάκωβε, Ἠπείρου ἀσκητὰ νεαυγέστατε· ὅθεν τὴν μνήμην σου πανευλαβῶς ἑορτάζοντες, Χριστὸν δοξάζομεν τὸν σὲ θαυμαστώσαντα, καὶ πρεσβευτὴν ἡμῶν πρὸς Αὐτὸν θερμότατον δείξαντα.

Δόξα. Ἦχος ὁ αὐτός.

Ἐν δασυσκίοις τοῦ Ζαγορίου ἄλσεσιν, εὑρὼν τὴν ἐρηριμμένην Μονὴν Ἠλιοὺ τοῦ Προφήτου, αὐτὴν μόχθοις σου ἀνεκαίνισας, καὶ προσευχῆς ἐντευκτήριον ἔδειξας, Ἰάκωβε· αὐτῇ οὖν καὶ νῦν ἡμεῖς προσπελάζοντες, προσκυνοῦμεν ἐν εὐλαβείᾳ τὴν σορὸν τῶν λειψάνων σου, καὶ τὰς θεοπειθεῖς σου εὐχὰς ἐκδεχόμεθα, πρὸς βίον κρείττονα.

Καὶ νῦν. Θεοτοκίον. Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Χαίροις, νεοφανῶν ἀσκητῶν, ἀδιαλείπτῳ προσευχῇ καὶ στερήσεσι, Θεῷ εὐαρεστησάντων, ἡ λαμπηδών, θαυμαστὲ, Ἠλιοὺ Προφήτου Μάνδρας

ἔνοικε, Βοδίνου ἐκβλάστημα, Ζαγορίου ἀγλάϊσμα, καὶ Βίτσης κλέος, θεοφόρε Ἰάκωβε, ὁ διδάγμασι, καὶ πανσόφοις σου ῥήμασι, καθοδηγήσας ἅπαντας, τοὺς σοὶ καταφεύγοντας, πρὸς ἀτραποὺς μετανοίας, καὶ σωτηρίας, πανόσιε, ἰσάγγελε μέροψ, ὁ χορείαις νῦν Ἀγγέλων, συναυλιζόμενος.

Στ. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Χαίροις, τῶν Ἱερέων λαμπτήρ, πνευματικῶν Πατέρων ἔμπνουν θησαύρισμα, ἡ στήλη τῆς ἐγκρατείας, τῆς σωφροσύνης εἰκών, συμπα-θείας κέρας, πρὸς τοὺς κάμνοντας, συγχωρητικότητος, παναρμόνιον ὄργανον, αὐλὸς νηστείας, ἀπαθείας ψαλτήριον, νάβλα νήψεως, καὶ πραότητος ἄσκαυλος· θεοειδὲς Ἰάκωβε, ἡ σάλπιγξ τῆς χάριτος, τοῦ Παρακλήτου παιᾶνα, νίκης ἀφθίτου ἠχήσασα, ἐξ ὕπνου με τάχος, τῶν παθῶν τῶν δυσιάτων, εὐχαῖς σου ἔγειρον.

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Χαίροις, ὁ τὴν πτωχείαν Χριστοῦ, ἐξ ὅλης, μάκαρ, ἀγαπήσας, Ἰάκωβε, καρδίας καὶ ταμιεύσας, ἐν οὐρανοῖς ἀληθῶς, πλοῦτον συμπαθείας, πρὸς τοὺς πένητας, τρισμάκαρ Ἰάκωβε, ὁ διδάξας εὐσέβειαν, ἐν Ζαγορίῳ, καὶ ἰθύνας σοὺς πρόσφυγας, πρὸς μετάνοιαν, βακτηρίᾳ φθεγμάτων σου· ὅθεν τὴν θείαν μνήμην σου, τιμῶντες ἐν ᾄσμασι, καὶ μεγαλύνοντες πόθῳ, σὰ ἱερὰ κατορθώματα, αἰνοῦμεν τὸν Κτίστην, σὲ δοξάσαντα πληθύϊ, θαυμάτων, Ὅσιε.

Δόξα. Ἦχος πλ. δ΄.

Ἐν Ἠπείρῳ ἀρτίως τὸν διαλάμψαντα, ἀνεπιλήπτου ἀστραπαῖς βίου, καὶ ἀκτῖσι θαυμασίων, Ἰάκωβον, εὐφημήσωμεν, ὡς σαρκοφόρον Ἄγγελον οὕτω λέγοντες· ὁ πνευματικῷ τρόπῳ πολλοὺς ὁδηγήσας εἰς σωτηρίαν, καὶ τὴν κλίμακα ἀναβὰς τῆς ἐν Χριστῷ τελειώσεως, ἀξίωσον καὶ ἡμᾶς ἀμέμπτως πολιτεύεσθαι, καὶ βαδίζειν τὴν ἀπάγουσαν τρίβον πρὸς ζωὴν τὴν αἰώνιον.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι...

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἰησοῦν τῆς καρδίας ἐν ἀφελότητι, θερμῶς λατρεύοντα δεῦτε, Ὁσίων ὑπογραμμὸν, Ἱερέων, τὸν ἐν Βίτσῃ ἐνασκήσαντα, ὡς θαυμασίων φρυκτωρὸν εὐφημήσωμεν λαμπρόν, Ἰάκωβον τὸν θεόπνουν, ἡμῶν ἀνύστακτον πρέσβυν, καὶ ἀρωγὸν ἐν περιστάσεσι.

Θεοτοκίον.

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

## Ο Ρ Θ Ρ ΟΣ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Προφήτου Ἠλιοὺ, ἀσκητὰ τοῦ Σεμνείου, οἰκῆτορ θεαυγὲς, Βίτσης καὶ Ζαγορίου, πανόσιε ἔνοικε,

θεοφόρε Ἰάκωβε, ῥεῖθρον Χάριτος, τοῦ πανσθενοῦς Παρακλήτου, διειδέστατον, καὶ θαυμασίων ταμεῖον, ἀξίως δεδόξασαι.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ἐλέους ποταμέ, οἰκτιρμῶν θεία κρήνη, Παρθένε ἀγαθή, ἀκεσώδυνον φρέαρ, τοῖς δούλοις Σου δέδοσαι, ὑπερύμνητε Δέσποινα, κρήνη ἄφθονε, τῆς συμπαθείας καμνόντων, καὶ ἀστείρευτε, πηγὴ χαρᾶς θλιβομένων· διὸ ἀνυμνοῦμέν Σε.

Μετὰ τὴν β' Στιχολογίαν Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Συγχωρητικότητος, καὶ συμπαθείας φανέ, τοὺς σὲ κατακλέψαντας, ἠγάπας ὡς σεαυτὸν, καὶ τρόποις σου εἵλκυσας, τοὺτους εἰς μετανοίας, ἀτραπούς, θεοφόρε, καὶ εἰς ὁδοὺς εὐθείας, ἀσκητὰ Ζαγορίου, Ἰάκωβε, Πατέρων κρηπὶς, ἀδιασάλευτε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Θεόθεν ἐπόπτευε, καὶ περιφρούρει ἡμᾶς, τοὺς Σὲ μεγαλύνοντας, πανευλαβῶς, Ἀγαθή, θερμὸν καταφύγιον, πάντων ἐμπεριστάτων, καὶ Υἱόν Σου τὸν θεῖον, πίστει δοξολογοῦντας, τὸν παρέχοντα πᾶσιν, ἀφθόνως οἰκτιρμῶν ὀχετούς, Θεογεννήτρια.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὸν ἀβλαβέστατον καὶ σῷον μείναντα, εἰς ναρκοπέδιον, σεπτὸν Ἰάκωβον, καὶ στρατιῶτας εἰς

Χριστὸν ἑλκύσαντα, κατιδόντας, θαῦμα τὸ ἐξαίσιον, εὐφημήσωμεν ᾄσμασιν, ἀσκητὴν πανόσιον Ζαγορίου καὶ ἔνοικον, τῆς Βίτσης θεοφόρον βοῶντες· χαῖρε, σημειοφόρε Πάτερ.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου, ψυχὴν καταύγασον, φωτὶ τῆς Χάριτος, τοῦ θείου Τόκου Σου, ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον, τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος, ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ Σοι· χαῖρε, ἡ Κεχαριτωμένη.

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν (Κεφ. στ΄ 17-21).

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος πολὺς μαθητῶν Αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ, ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι Αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν· καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι Αὐτοῦ, ὅτι δύναμις παρ’ Αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτός, ἐπάρας τοὺς ὀφθαλμοὺς Αὐτοῦ εἰς τοὺς μαθητὰς Αὐτοῦ, ἔλεγεν· μακάριοι οἱ πτωχοί, ὅτι

ὑμετέρα ἐστὶν ἡ Βασιλεία τοῦ Θεοῦ· μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε· μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε· μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσιν, καὶ ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Ὁ Ν΄ (50) Ψαλμός.

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου....

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Τρόποις ἀσκήσεως ἐν ἐσχάτοις χρόνοις, τὸν ἀναζωγραφήσαντα τῶν πάλαι ἀσκητῶν τὰ παλαίσματα, καὶ καταδείξαντα, ὅτι Ἰησοῦς Χριστὸς ὁ αὐτὸς εἰς τοὺς αἰῶνας, Ἰάκωβον, τὸν ἐν Βίτσῃ ἀσκήσαντα, τιμήσωμεν καὶ ἐν κατανύξει αὐτῷ βοήσωμεν· ἰσάγγελε ἄνθρωπε, ὁ τὸ κράτος τοῦ Θεοῦ μεγαλύνας, καὶ καταισχύνας τὸν ἔχθιστον συντόνοις σου παλαίσμασι, πέμψον ἡμῖν τὴν χάριν σου θεόθεν, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Εἶτα ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς· *Ἰακώβου, νέου Ὁσίου Ζαγορίου, αἶνος. Χ. Μ. Μ.*

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἰάκωβον Ὅσιον, Ἀργυροκάστρου ἐκβλάστημα, Πατέρων ἐκτύπωμα, σημειοφόρον φανὸν, καὶ νεόφωτον, φωστῆρα εὐσεβείας, εὐτάκτοις μελίσμασιν, ἐγκωμιάσωμεν.

Ἀσκήσας ὡς ἄσαρκος, ἐν Ζαγορίῳ, Ἰάκωβε, ἐσχάτοις ἐν ἔτεσιν, ἐπαναστάσεις σαρκὸς, κατεπράϋνας, παλαίσμασι συντόνοις, νηστείαις, ἀσκήσεσι, πόνοις καὶ δάκρυσι.

Κιννάμωμον εὔοσμον, Βοδίνου, μάκαρ Ἰάκωβε, τὴν Ἤπειρον ἥδυνας, σῆς ἀριστείας ὀδμαῖς, ἐν τοῖς σκάμμασι, τοῦ ἰσαγγέλου βίου, εὐχῆς, ταπεινώσεως, Πάτερ, καὶ νήψεως.

Θεοτοκίον.

Ὡράϊσμα πάνσεπτον, τῆς παρθενίας, Μητρόθεε, τὰ σύμπαντα σκέπῃ Σου, καθωραΐζεις Σεπτῇ, καὶ συστήματα, φαιδρύνεις οἰκετῶν Σου, θερμῇ προστασίᾳ Σου, καὶ ἀντιλήψει Σου.

Ὠδὴ γ'. Τοὺς Σοὺς ὑμνολόγους.

Βαθμίδας, Ἰάκωβε, ἀρτίως, πασῶν ἀνελθὼν τῶν ἀρετῶν, τῇ βακτηρίᾳ, Ὅσιε, ἀφάτου ταπεινώσεως, εἰς τὰς ἐπάλξεις ἔφθασας, τὰς ὑπερφώτους θεώσεως.

Ὁδὸν πορισμοῦ τῶν ἀναγκαίων, βαδίσας, Ἰάκωβε σεπτέ, ἐξ ἐφηβείας χρόνων σου, σὸν οἶκον ἐγκατέλιπες, καὶ εἰς Κωνσταντινούπολιν, πρὸς ἐργασίαν κατήντησας.

Ὑφαίνων χιτῶνα σωτηρίας, τῆς σῆς ὁ τῶν ὅλων Ποιητὴς, εἰς τρίβους σου ἀπέστειλε, σεπτὸν ἱεροκήρυκα, ἰθῦναι ἀπλανέστατα, σὲ πρὸς Αὐτοῦ τὰ σκηνώματα.

Θεοτοκίον.

Ναὲ τοῦ Θεοῦ ἡγιασμένε, λιταῖς Ἰακώβου θεαυγοῦς, εὐλογημένη Δέσποινα, κατάπεμψον τὴν χάριν Σου, ἡμῖν Σε μακαρίζουσιν, Χριστιανῶν ὡς προσφύγιον.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Μέγα καύχημα τοῦ Ζαγορίου, Μάνδρας ἔνοικε σεπτὲ Προφήτου, Ἠλιοὺ καὶ κατευθῦντορ πρὸς θέωσιν, Χριστιανῶν, θεοφόρε Ἰάκωβε, ὁ ἀβλαβῶς διαβὰς ναρκοπέδιον, καταξίωσον πατῆσαι ἡμᾶς τὰ ἔνεδρα, ἐχθίστου σαῖς ἐνθέρμοις παρακλήσεσι.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Μῆτερ ἄχραντε, Ὑψίστου Λόγου, τοῦ δι’ ἄφατον φιλανθρωπίαν, δεξαμένου τὸ ἀνθρώπινον φύραμα, θεόθεν σκέπε ἀεὶ καὶ ἁγίαζε, τοὺς μεγαλύνοντας πόθῳ σὴν εὔνοιαν, πρὸς τοὺς δούλους Σου καὶ ἄγρυπνον προστασίαν Σου, πρὸς πάντας τρυχομένους, Παντευλόγητε.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ἐκ τῆς Βασιλίδος ἄρτι, σὺν χορῷ ὁμηλίκων σου, ἧκες εἰς τὸ Ὄρος, Ἄθωνος, ἐν ᾧπερ, Ἰάκωβε,

ἀγγελικῶς ἐνασκούμενος ἠξίωσαι, Πάτερ Ὅσιε, ἱερωσύνης ὡς ἄμεμπτος.

Οἰκιστὰ Ἁγίου Ὄρους, θεοφόρε Ἰάκωβε, προσευχῇ, νηστείᾳ, νήψει, ταπεινώσει, ἁπλότητι, ὑπακοῇ καὶ γονάτων σου ταῖς κλίσεσι, τοῦ σαρκίου σου, ἐπαναστάσεις κατέστειλας.

Ὑμνῳδίαις σε τιμῶμεν, ὡς Χριστοῦ φίλον γνήσιον, τὸν διακονῆσαι, τῇ αὐτοῦ πατρίδι ποθήσαντα, καὶ ἐν Βορείῳ Ἠπείρῳ ἁγιάσαντα, τὴν χριστώνυμον, πληθὺν εὐχῶν σου τοῖς νάμασι.

Θεοτοκίον.

Ὁμηγύρεως ὑπάρχεις, εὐσεβῶν καταφύγιον, Κεχαριτωμένη, Μῆτερ τοῦ Ὑψίστου Πανάχραντε, καὶ παραμύθιον πάντων τῶν ἐν θλίψεσιν, ἡ ἀείποτε, τοὺς Σοὺς οἰκέτας οἰκτίρουσα.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Σαλπίσας, Ἰάκωβε, παιᾶνα τὸν σωτήριον, πάσῃ τῇ ἐλλόγῳ σου ἀγέλῃ, καὶ κατευθύνας πρὸς οὐρανίους νομὰς, αὐτὴν ἐν ἐσχάτοις τοῖς καιροῖς, πίστιν ἐμεγάλυνας, τοῦ Θεοῦ Παντοκράτορος.

Ἰάκωβε Ὅσιε, διέφυγες τῇ χάριτι, τοῦ Θεοῦ μανίαν διωκτῶν σου, κρυβεὶς εἰς οἴκου σοῦ πατρικοῦ ὀροφὴν, καὶ ἄϋλος ἔμπροσθεν αὐτῶν, θαυμαστῶς γενόμενος, Ἱερεῦ χαριτόβρυτε.

Ὁδῷ ἠκολούθησας, Ἰάκωβε, ἀπάγουσαν, πρὸς ἐλευθερίαν ἐκ δουλείας, τῆς σῆς πατρίδος καὶ Ἠλιοὺ

τὴν Μονὴν, Προφήτου κατέλαβες σεπτοῦ, ἐν τῇ Βίτσῃ, Ὅσιε, Ζαγορίου, θεόσοφε.

Θεοτοκίον.

Ὑπέραγνε Δέσποινα, Θεογεννῆτορ ἄχραντε, Ἰακώβου εὖχος τοῦ Ὁσίου, Σοὺς δούλους φρούρει καὶ ἐπευλόγει ἀεί, τοὺς Σὲ μεγαλύνοντας λαμπρῶς, καὶ τῇ θείᾳ σκέπῃ Σου, ἀκλινῶς καταφεύγοντας.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ζηλώσας τῆς ἀποκρύψεως, τοὺς τρόπους Ἠλιού, Πάτερ Ὅσιε, ἐν ταμιείῳ σου, ἐκλείσθης μόνον τῷ Κτίσαντι, προσομιλεῖν ἀπαύστως, καὶ Παντοκράτορι.

Ἁγίων νέων, Ἰάκωβε, τῶν εὐαρεστησάντων ἀσκήσεων, συντόνων σκάμμασι, Χριστῷ ἰθύντωρ πρὸς θέωσιν, λαοῦ τοῦ Ζαγορίου, ἐπώφθης ἄριστος.

Γλυκὺς τοῖς τρόποις, Ἰάκωβε, πραΰς καὶ ταπεινὸς ὢν ἐζώγρησας, πάντας σαγήνῃ σου, τῶν διδαχῶν καὶ τῶν ῥήσεων, τῶν θεοσόφων, Πάτερ, σοφίας σκήνωμα.

Θεοτοκίον.

Ὁδήγει Σοὶ τοὺς προστρέχοντας, Υἱοῦ Σου πρὸς σκηνώσεις, Μητρόθεε, ὕμνοις ἑκάστοτε, Σὲ μεγαλύνοντας, Δέσποινα, ὡς ἀπλανῆ πρὸς πόλον, πιστῶν ἰθύντειραν.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Τοῦ Ζαγορίου ἀσκητὴν τὸν ἐνθεώτατον, καὶ Ἱερέα Βίτσης τίμιον ὑμνήσωμεν, ὁρατῶν καὶ ἀοράτων

ἐχθρῶν ἐνέδρας, ἀβλαβῶς καταπατήσαντα, ὡς πίστεως, νέον εὖχος καὶ διάκοσμον πολύτιμον, πόθῳ κράζοντες· χαίροις, μάκαρ Ἰάκωβε.

Ὁ Οἶκος.

Ἄγγελος σάρκα φέρων καὶ οἰκῶν Ζαγορίου, Ἰάκωβε, τὴν Βίτσαν ἐπήρθης σαῖς στερήσεσι πρὸς οὐρανῶν ἀφθονίαν, Πάτερ, τοῦ Θεοῦ ἄνθρωπε· διό σε μακαρίζοντες κραυγάζομεν ἐν εὐλαβείᾳ·

Χαῖρε, Βοδίνου ὁ θεῖος γόνος·
χαῖρε, Ὑψίστου Θεοῦ ὁ φίλος.
Χαῖρε, ταπεινώσεως ἔρεισμα ἄσειστον·
χαῖρε, τῆς ἁπλότητος σκήνωμα τίμιον.
Χαῖρε, ὅτι συνεχώρησας ὁλοθύμως τοῖς ἐχθροῖς·
χαῖρε, ὅτι εὐηρέστησας τῷ Θεῷ καὶ τοῖς πιστοῖς.
Χαῖρε, ὁ διαμείνας ἀσινὴς ἐν τῇ νάρκῃ·
χαῖρε, ὁ ἐνασκήσας ταπεινῶς ἐν τῇ Βίτσῃ.
Χαῖρε, φανὸς εὐχῆς νεαυγέστατος·
χαῖρε, πυρσὸς σιγῆς τηλαυγέστατος·
Χαῖρε, πιστῶν ἀπλανὴς κατευθύντωρ·
χαῖρε, ἡμῶν ἐναλγούντων ἀκέστωρ·
Χαίροις, μάκαρ Ἰάκωβε.

Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ιε΄ Φεβρουαρίου. Εἶτα λέγομεν·

Τῇ ΙΕ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἰακώβου, τοὐπίκλην Βαλαδῆμον, τοῦ ἐν Βίτσῃ Ζαγορίου ἀσκήσαντος.

Στίχοι.

*Πνευματικῷ τρόπῳ ἔλαμψας ἐν Βίτσῃ,*
*θεαυγὲς Ἰάκωβε, πυρσὲ θαυμάτων.*

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ῥοῦν, Ἰάκωβε, ξηράνας ἀγαπήσεως, φλογὶ τοῦ Κτίσαντος, χαμαιζηλίας παθῶν, Ἀγγέλων ἰσότιμος, ἐδείχθης, Ὅσιε, Βίτσης κλεΐσμα, καὶ Ζαγορίου σέμνωμα, κεχαριτωμένε Πάτερ.

Ἱλαρώτατος, πνευματικός, Ἰάκωβε, ὑπάρχων εἵλκυσας, τοὺς σοὺς ἐχθροὺς εἰς Χριστόν, οὓς χάρις ἐζώγρησε, σῆς ἀγαθότητος, εἰς τὰ δίχτυα, τῆς μετανοίας, Ὅσιε, συγχωρητικέ, τρισμάκαρ.

Οὐρανόφοιτε, Ἰάκωβε, τῆς χάριτος, δοχεῖον εὔχρηστον, ᾔσθιες ὅ,τι ἁπλοῦν, σοί, Πάτερ, παρέθετο, τυφλή σου ὅμαιμος, ἡ μονάζουσα, σὺν σοί, δοξάζων Κύριον, τὸν τοῦ σύμπαντος τροφέα.

Θεοτοκίον.

Ὕμνοις πρέπουσιν, ἀεί Σε μεγαλύνομεν, Θεομακάριστε, Μῆτερ τοῦ Λόγου Θεοῦ, ὡς κόσμου διάσωσμα, καὶ καταφύγιον, ἱερώτατον, τῶν ἐν παντοίαις θλίψεσι, καὶ τοῦ βίου καταιγίσι.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἅγιε τῆς Βίτσης Ζαγορίου, Ἰάκωβε, εἰς φυγὴν τὰ στίφη ἔτρεψας, Ἰταλῶν καὶ ἔσωσας, ἐξ ὀλέθρου κώμην

σου, ἑσπεριναῖς δεήσεσι, ταῖς σαῖς πρὸς Κύριον, καὶ ἤχῳ τῶν κωδώνων Μονῆς σου, τῆς ἐγκαυχωμένης, σῇ θείᾳ προστασίᾳ.

Ἴον ταπεινώσεως εὐῶδες, Ἰάκωβε, καὶ ἁπλότητος καθήδυνας, τρόποις σου τοὺς σπεύδοντας, σῇ πλουσίᾳ χάριτι, ἣν δαψιλῶς ἀπείληφας, θεόθεν, Ὅσιε, ὡς πόνων ἀντιμίσθιον θεῖον, τῶν ἀσκητικῶν σου, ἐν Βίτσῃ Ζαγορίου.

Νέκταρι ἐνθέων διδαχῶν σου, Ἰάκωβε, καὶ ῥημάτων θεοσόφων σου, Κωνσταντινουπόλεως, τοὺς πιστοὺς κατηύφρανας, πνευματοφόρε Ὅσιε, χαρίτων τέμενος, καὶ μέλαθρον, ἠθῶν τῶν ἀρίστων· ὅθεν σε ὑμνοῦμεν, ἀξιοχρέως πάντες.

Θεοτοκίον.

Ὅρμε γαληνὲ θαλαττευόντων, πανύμνητε Θεοτόκε, καὶ ἀχείμαστε, κλύδωνα κατάπαυσον, τῶν παθῶν προσφύγων Σου, καὶ τὴν ζωὴν εἰρή-νευσον, τῶν μελῳδούντων σε ἀπαύστως, Παναγία Παρθένε, Κεχαριτωμένη, τοῦ Εἰρηνάρχου Μῆτερ.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Στῦλε προσευχῆς, Ἰάκωβε, ἄσειστε, πιστοὺς ἐστήριξας, καὶ θεόθεν ἔλαβες, ἀφθόνως χάριν τῆς προοράσεως· διό σε μακαρίζομεν τὸν Θείᾳ Χάριτι, ἐκδημίαν πρὸς Θεὸν ὁμαίμου σου, ἀσκουμένου προγνῶντα, ἐν Ἄθωνι.

Χαῖρε, τοῦ Χριστοῦ, πτωχείας, Ἰάκωβε, θεοφορούμενε, ζηλωτά, ὁ ἄμφια, ἐν Ἐκκλησίαις

ἀμφιεννύμενος, ἁπλούστατα ἑκάστοτε καὶ χρυσοποίκιλτα, ἀποφεύγων ἑαυτὸν οἰόμενος, ὑπηρέτην Θεοῦ ταπεινότατον.

Μάκαρ ἀσκητά, Ἰάκωβε Ὅσιε, λιταῖς ἐνθέρμοις σου, σὲ τὴν κατατρύχουσαν, τῶν ὀφθαλμῶν σου ἰάσω τύφλωσιν, καὶ τῆς ψυχῆς σου ὄμματα ταχὺ διήνοιξας, βλέπειν μόνον πάντα τὰ σωτήρια, καὶ λαμπρὰ καὶ αἰώνια, πάντιμε.

Θεοτοκίον.

Μῆτερ τοῦ Θεοῦ, Πανάχραντε Δέσποινα, πιστῶν διάσωσμα, ῥύου περιστάσεων, καὶ ἀλγηδόνων τοὺς Σοὶ προστρέχοντας, λιταῖς τοῦ οὐρανόφρονος Βίτσης οἰκήτορος, Ἰακώβου ἄρτι τοῦ ἐκλάμψαντος, ἀστραπαῖς ἰσαγγέλου βιώσεως.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Σημειοφόρον Ὅσιον, τοῦ Ζαγορίου ἔνοικον, πνευματικὸν ποδηγέτην, πιστῶν, Ἰάκωβον θεῖον, πρὸς οὐρανῶν σκηνώματα, ὑμνήσωμεν ὡς ἄμεμπτον, σεμνόν, πραΰν, γλυκύτατον, καὶ ταπεινώσεως κέρας, ψαλμοῖς καὶ ὕμνοις εὐήχοις.

Θεοτοκίον.

Ὑψίστου Μῆτερ εὔστοργε, τοῦ Λόγου, ἐν ἀγκάλαις Σου, βάσταζε πάντας Σοὺς δούλους, τοὺς καταφεύγοντας πίστει, τῇ θείᾳ ἀντιλήψει Σου, ἀόκνῳ προστασίᾳ Σου, καὶ ἄκρᾳ συμπαθείᾳ Σου, πρὸς πάντας ἐμπερισ-τάτους, ἀλγοῦντας καὶ τρυχομένους.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!

Ἄνθος μυροβόλον χάριτος, θεοειδὲς ἀσκητά, εὐωδίᾳ, Ἰάκωβε, τῶν κατορθωμάτων σου, οἰκουμένην καθήδυνας, βλαστὲ Βοδίνου, πανευθαλέστατε, καὶ Ζαγορίου, τερπνὸν λευκάνθεμον· ὅθεν τὴν μνήμην σου, πάντες ἑορτάζοντες τὴν παμφαῆ, ὡς Ὁσίων ἔκτυπον, σὲ μεγαλύνομεν.

Πάτερ θεαυγές, Ἰάκωβε, ὁ τὴν πτωχείαν Χριστοῦ, ἀγαπήσας ἐξ ὅλης σου, τῆς ψυχῆς, ἠνάλωσας, σεαυτόν, Πάτερ Ὅσιε, τῇ σωτηρίᾳ, τῶν προστρεχόντων σοι, οὓς ὡς εἰκόνας, Κυρίου ἔβλεπες, καὶ ἀπλανέστατος, ὁδηγὸς ὤν γέγονας πρὸς οὐρανῶν, δόμους, θεοείκελε, τῆς Βίτσης ἔνοικε.

Χαῖρε, ὁ σαγήνῃ λόγων σου, ζωγρήσας καὶ φωτεινοῦ, παραδείγματος βίου σου, πρὸς Χριστὸν τοὺς σπεύδοντας, συμβουλαῖς θεοσόφοις σου, φωστὴρ τῆς Βίτσης, λαμπρέ, Ἰάκωβε, τῆς ἀγνωσίας, ὁ λύσας ζόφωσιν, ποίμνης ἐλλόγου σου, Ἱερεῦ θειότατε, καὶ χρυσαυγὲς, ἀνατείλας γνώσεως, ἦμαρ σοῖς πρόσφυξι.

Χαίροις, θαυμασίων πρόξενε, ἱερομύστα σεπτὲ, Ζαγορίου, Ἰάκωβε, χρυσοπτέρυξ χάριτος, ἀετὲ Θείου Πνεύματος, ὁ εἰς τὰ ὕψη, τὰ δυσαντίβλεπτα, πετῶν ἀγάπης, Χριστοῦ, ἀσκήσεως, καὶ συγχωρήσεως, τῶν ἀνόμων πράξεων τῶν σῶν ἐχθρῶν, οἷς ὁδὸν σωτήριον, εὐθέως ἔδειξας.

Δόξα. Ἦχος πλ. α'.

Εὐάνδρου Ἠπείρου τὸ φιλέρημον στρουθίον, πήξαν ἀσκητικὴν καλιὰν ἐν Ζαγορίῳ, καὶ κελαδήσαντα πιστοῖς μετάνοιαν καὶ σωτηρίαν, Ἰάκωβον μέλψωμεν τὸν ἀοίδιμον, ὡς ἀσκητῶν ἀκροθίνιον κράζοντες· ὑψηπέτα ἀετὲ τῆς Χάριτος, ὁ ἀποκρυβεὶς πρὸς πνευματικὴν ἀνακαίνισιν, ἐν τῇ Μονῇ Ἠλιοῦ τοῦ Προφήτου, ἀξίωσον καὶ ἡμᾶς καταλαβεῖν τὰς οὐρανίους ἐπάλξεις, καὶ σὺν σοὶ αἰωνίως ἐπαγάλλεσθαι.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε,...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Μεγαλυνάριον.

Ἠλιοὺ Προφήτου σεπτῆς Μονῆς, ἐν τῇ Βίτσῃ, χαῖρε, ὁ οἰκήτωρ καὶ ἡ λαμπὰς, τῶν θαυματοβρύτων, Ὁσίων Ἱερέων, Ἰάκωβε, χαρίτων, Θείων ὁ ἔμπλεως.

Δίστιχον.

*Ἰάκωβον ᾖσε Χριστοδούλου χάριν,*
*τὸν ἐν Βίτσῃ ἀσκήσαντα, Χαραλάμπης.*